[τοσόνδε μέντοι σοι προσημαίνω, γύναι·
ἐκ τῆσδε μὲν γῆς οὔ σ᾽ ἄγειν βουλήσομαι,
αὐτὴ δ᾽ ἐάνπερ εἰς ἐμοὺς ἔλθῃς δόμους,
μενεῖς ἄσυλος κοὔ σε μὴ μεθῶ τινι.]
ἐκ τῆσδε δ᾽ αὐτὴ γῆς ἀπαλλάσσου πόδα·
ἀναίτιος γὰρ καὶ ξένοις εἶναι θέλω.
*ΜΗ.* ἔσται τάδ᾽· ἀλλὰ πίστις εἰ γένοιτό μοι
τούτων, ἔχοιμ᾽ ἂν πάντα πρὸς σέθεν καλῶς.
*ΑΙ.* μῶν οὐ πέποιθας; ἢ τί σοι τὸ δυσχερές;
*ΜΗ.* πέποιθα· Πελίου δ᾽ ἐχθρός ἐστί μοι δόμος
Κρέων τε. τούτοις δ᾽ ὁρκίοισι μὲν ζυγεὶς
ἄγουσιν οὐ μεθεῖ᾽ ἂν ἐκ γαίας ἐμέ·
λόγοις δὲ συμβὰς καὶ θεῶν ἐνώμοτος
φίλος γένοι᾽ ἂν κἀπικηρυκεύματα
οὐκ ἂν πίθοιο· τἀμὰ μὲν γὰρ ἀσθενῆ,
τοῖς δ᾽ ὄλβος ἐστὶ καὶ δόμος τυραννικός.
*ΑΙ.* πολλὴν ἔλεξας, ὦ γύναι, προμηθίαν·
ἀλλ᾽, εἰ δοκεῖ σοι, δρᾶν τάδ᾽ οὐκ ἀφίσταμαι.
ἐμοί τε γὰρ τάδ᾽ ἐστὶν ἀσφαλέστατα,
σκῆψίν τιν᾽ ἐχθροῖς σοῖς ἔχοντα δεικνύναι,
τὸ σόν τ᾽ ἄραρε μᾶλλον· ἐξηγοῦ θεούς.
*ΜΗ.* ὄμνυ πέδον Γῆς πατέρα θ᾽ Ἥλιον πατρὸς
τοὐμοῦ θεῶν τε συντιθεὶς ἅπαν γένος.
*ΑΙ.* τί χρῆμα δράσειν ἢ τί μὴ δράσειν; λέγε.
*ΜΗ.* μήτ᾽ αὐτὸς ἐκ γῆς σῆς ἔμ᾽ ἐκβαλεῖν ποτε,
μήτ᾽ ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν
χρῄζῃ, μεθήσειν ζῶν ἑκουσίῳ τρόπῳ.
*ΑΙ.* ὄμνυμι Γῆν καὶ λαμπρὸν Ἡλίου φάος
θεούς τε πάντας ἐμμενεῖν ἅ σου κλύω.
*ΜΗ.* ἀρκεῖ· τί δ᾽ ὅρκῳ τῷδε μὴ ᾽μμένων πάθοις;

---

725. *τοσόνγε* vel *τοσόνδε* libri. 736. *μεθεῖ᾽*] Lascaris, *μεθῇς, μεθεῖς, μεθείς* libri. 737. *γρ. ἀνώμοτος* a 738. *κἀπικηρυκεύματα* cum Didymo scholia, *κἀπικηρυκεύμασι* libri. 741. *ὦ γύναι*] v. l. *ἐν λόγοις.* 746. *πατέρα θ᾽ Ἥλιον πατρός*] v. l. *ἡλίου θ᾽ ἁγνὸν σέβας.* 751. *ζῶν*] v. l. *γῆς.* 752. *Γῆν καὶ λαμπρὸν Ἡλίου φάος*] *γαῖαν λαμπρόν θ᾽ ἡλίου φάος* BCbcd *γαῖαν λαμπρὸν ἡλίου τε φῶς BC*